eul_wid: mmg-ab

Ἀνώνυμος ἱστορικός (ἀποσπάσματα) · Historical Fragments Anonymous

# Anonymous-the Founding of Hermopolis

Ἀνώνυμος Περὶ τῆς Κτίσεως Ἑρμοπόλεως

**Period:** Ἑλληνιστική Hellenistic
**Dialect:** Μικταὶ διάλεκτοι Mixed Dialects (frg)
**Domain:** Ἱστορία History
**Format:** Συναγωγή Collection

3c,637,F 1 P. STRASSBURG 481 s. IV p (ed. et suppl. Reitzenstein Zwei religionsgesch. Fragen, 1901, p. 53 ff.): ** [ἐ]ξερύσας τινὰ μοῖραν ἑῆς πολυειδέος ἀλκ[ῆς]· / κεῖνος δὴ νέος ἐστὶν ἐμὸς πατρώιος Ἑρμῆς. / τῶι μάλα πόλλ' ἐπέτελλε καμεῖν περικαλλέα κ[όσμον], / δῶκε δέ οἱ ῥάβδον χρυσένη διακοσμήτειραν, / πάσης εὐέργοιο νοήμονα μητέρα τέχνης. / σὺν τῆι ἔβη Διὸς υἱὸς ἐ[οῦ] γενετῆρος ἐφετμήν / πᾶσαν ἵνα κρήνειεν, ὁ δ' ἥμενος ἐν περιωπῆι / τέρπετο κυδαλίμου θηεύμενος υἱέος ἔργα. / αὐτὰρ ὁ θεσπεσίην φορέων τετράζυγα μορφήν / ὀφθαλμοὺ[ς κάμ]μυσε κ[εδαζ]ομένης ὑπὲρ αἴγλης / ** ς εἶπέ τε μῦθον· / '[κέκλυτε * αἰ]θέρος * αὐτός / [λη]γέμεναι προτέρης ἔριδος στοιχε[ῖα κελεύει], / [ἁρ]μονίηι πείθεσθε διακρίνεσθέ(τ') [ἐφετμῆι· / λ]ωιτέρη δέ τις ὔμμι συνήλυσι[ς ἔσσετ' ἔπειτα]. / τεύξω γὰρ φιλότητα καὶ ἵμερον [ἀμφὶς ἑοῦσιν] / ὔ(μμι) μετ' ἀλλήλοισιν ἀρειοτέρηι ἐ[πὶ μοίρηι]'. / ὡς εἰπὼν χρυσέηι ῥάβδωι θίγεν * / εὐκήλωι δὲ τάχιστα κατείχε[το πάντα γαλήνηι] / παυσάμενα στοιχεῖα πολυσ[χιδέων καταμιγμῶν], / ἔστη δ' εὐθὺς ἕκαστον ὀφειλ[ομένωι ἐνὶ χώρωι], / μαρμαρυγὴν ** / δηναίης [δὲ διχοστασίης λάθετ' ἀρθμηθέντα]. / αὐτὰρ ὁ παγγενέτα[ο θεοῦ * ] / πρῶτα μὲν αἰγλήεν[τα ** ] / ἀρρήτωι στροφάλιγγ[ι] π[ά]λιν [δ]ί[νητον ἀνάγκην] / οὐρανὸν ἐσφαίρωσε, κατεστραφ * / ἑπτὰ δέ μιν ζώναις διεκόσ[μεεν, ἑπτὰ δ' ἐπῆσαν] / ἄστρων ἡγεμονῆες, ἄλη ὧν [τείρεα δινεῖ] * / ἄλλου νέρ[τ]ερος ἄλλος, ἐπήτρ[ιμοι ἠλάσκοντες]. / πάντοθι δ' αἶθον ὁμοῦ περὶ χ * / μέσσην γαῖαν ἔπ[η]ξ[εν] ἀκι[νήτοις ἐνὶ δεσμοῖς], / ἐς δ' αἴθωνα νότ[ον] κρυμώ[δεά τ' ἄρκτον ἔτεινε] / λοξὸν ἀκινήτοιο [κ]αὶ ἡ[σύχου ἄξονος οἶμον]. / καὶ πόντου κελάδοντος ** / μαινομένην, ἀχάλινον, ἀν ** / ἀλλὰ μέσαις ἕνα κόλπον ἀολ[λ * ] / μακραῖς ἠιόνεσσι χάραξε δ ** / ἡ δὲ πολυπλάγκτων π ** / νήχεται ἠπείροιο κασιγνήτης ε * / ἄξονα δὲ σφίγγουσι δύω πόλοι [ἀμφοτέρωθεν]. / * καίπερ * / * η παρακέκλιται * / * χθαμαλ[ὴ]ν ἐ[π] * / * ον θινωδε * / * θον ὅλην * / *** // [οὔπω] κύκλος ἔην Ὑπερίονος, οὐδὲ καὶ αὐτή / [εἰλι]π(ό)δων (ἐτίνασσε) βοῶν εὔληρα Σελήνη, / [νὺ]ξ δὲ διηνεκέως ἄτερ ἤματος ἔρρεε μούνη, / ἄστρων λεπταλέηισιν ὑπὸ στίλβουσα βολῆισι. / τὰ φρονέων πολιοῖο δι' ἠέρος ἔστιχεν Ἑρμῆς, / οὐκ οἶος, σὺν τῶι (γ)ε Λόγος κίεν ἀγλαὸς υἱός, / λαιψηραῖς πτερύγεσσι κεκασμένος, αἰὲν ἀληθής, / ἁγνὴν ἀτρεκέεσσιν ἔχων ἐπὶ χείλεσι πειθώ, / πατρώιου καθαροῖο νοήματος ἄγγελος ὠκύς. / σὺν τῶι ἔβη γαῖάνδε με[ * Ἑρμῆς] / παπτ[αίνων ** ] / χῶρον [εὔκρη]τον διζήμενος, ἔνθα πολίσσηι / ἄστυ * εστον, ὅ κεν πεπολισμένον εἴη / ἄξιο[ν ** ]ην εὐφεγγέα δέχθαι. / ἀλλ' [οὐ ** ] ἐπὶ κρυμώδεας ἄρκτους / πα * * μοίραι(ς) χθονὸς οὕνεκα κείναις / ** ε βαθὺς περιπέπταται ἀήρ / ** [βα]ρυνόμενος

νιφάδεσσι / ** [οὔ]λ[η] δ’ ἐπενήνοθε πάχνη / ** [θν]ητὸν δέμας· οὐδέ κεν αὖθι / * * γαίης / ** / * θε ... αλυη / * λις ... λαων / ** φυ .... α / ** επται ἄσκιος ἀήρ / ** δύο κατὰ κόσμον ἔασι / ** [καὶ] ἀκρήτοιο θερείης / ** αἰθομένωι πυρὶ γ[εί]των / ** σα πολυσπε[ρέων γένος] ἀνδρῶν / ** κλητι ... γένοντο / ** [κ]αὶ ἄστεα [χ]ωρηθεῖσαι / ** [ὠ]κ[ε]ανοῖο / ** νομίηισιν [ἔ]δοσκεν / ** οι τῶν δέ γε [μ]έσσος / ** [λεχ]ωιὰς Ὠγυγίη χ[θώ]ν / ** ομαι οι ποτ ..... / ** τὸ δὲ κλέος οὐδεπ .. θ . ν / ** ἀντιπέρηθεν ὀρούσας / ** [ν]υκτὶ δ’ ενηεν . π . θοι / ** θεον ... αι ..... / σανοτ ....... / ** ουσιν * / ** ης διζημ * / ***

Eulogikon public reading copy · View original HTML at eulogikon.org